στρ. β′ ὅταν θεοῦ μοῖρα πέμπῃ
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα·
πένθος δὲ πίτνει βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ
δέ νιν Παλλὰς αἰεὶ
καὶ Ζεὺς πατήρ, μάλα φιλεῖ δὲ παῖς ὁ κισσοφόρος·

ἀντ. β′ λέγοντι δ᾽ ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον.
ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ᾽ ἡσύχιμον ἁμέραν ὁπότε παῖδ᾽ ἁλίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν·
ῥοαὶ δ᾽ ἄλλοτ᾽ ἄλλαι
εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

ἐπ. β′ οὕτω δὲ Μοῖρ᾽, ἅ τε πατρώϊον
τῶνδ᾽ ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ᾽ ἄγει, παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λᾷον μόριμος υἱὸς